ἢ μείζω εἶναι τὴν ὑπόθεσιν ἔχουσι. ἐκείνας δὲ ἔγωγε λέγω, ἥν τε Βροῦτος καὶ Κάσσιος δὴ ἠγωνισάτην ἅμα πρὸς Αὔγουστον καὶ Καίσαρα καὶ Ἀντώνιον ἐν Φιλίπποις, ἥν τε μετὰ ταῦτα Ἀντώνιος αὖθις σὺν Κλεοπάτρᾳ τῇ Αἰγυπτίᾳ πρὸς Αὔγουστον] καὶ Καίσαρα περὶ τὸ Ἄκτιον, μάχαις καὶ παμπληθέσι ναυμαχίαις ὁμοῦ καὶ πεζομαχίαις συνεστήσαντο. αὗται γὰρ περὶ τῶν ὅλων μικροῦ τῆς οἰκουμένης πραγμάτων καὶ καθολικὴν πεποίηνται, τήν τε κίνησιν καὶ μεταβολήν. ἡ δ᾽ ὕστερον Κωνσταντίνου καὶ Λικινίου, παρ᾽ ἐκείνας πολλῷ τῷ μεγέθει παρήλασε. ἐν ταύτῃ γὰρ οὐ μόνον ὅπλα πρὸς ὅπλα καὶ σώματα πρὸς σώματα κεκίνηται, ἀλλὰ καὶ ψυχαὶ πρὸς ψυχὰς ὡπλίσθησαν. καὶ δόξα πρὸς δόξαν. καὶ ἡ τοῦ σταυροῦ δύναμις, πρὸς διάβολον τὸν τῆς ἀληθείας ἀντίπαλον. διὸ καὶ κατὰ κράτος ἦν πᾶσα ἡ οἰκουμένη σφαδάζουσα καὶ περιμένουσα τὸ τῆς νίκης ἕως τέλος ἴδοι. καὶ ὅπου ῥέψει τὰ τῆς τῶν ὅλων ἡγεμονίαν [illegible]. ὁ μέντοι Λικίνιος ὅλος τοῦ ἀπίστου [illegible] τὸν πόλεμον, εὐθὺς [illegible] θεῖα ἀνοσίοις ναοῖς, καὶ διατάξας ὡς αὐτὸν πρὸς ἐκείνων μαχίαν. καὶ ἅμα οἱ τοῦ Κωνσταντίνου [illegible] ἔχοντες, [illegible] ξένοις [illegible], ἤλασαν [illegible]. καὶ [illegible] κατὰ μέτωπον εὐθὺς ἀπαντῶσι τοῦ Λικινίου [illegible] δημ-